ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδάλων· τινῶν δ' οὐχί. καὶ τινὲς καρποί εἰσι βρώσιμοι, καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι· καὶ τινὲς καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι· ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἐλλέβορος, ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξι. πάλιν τινὲς τῶν καρπῶν εἰσιν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου· τινὸς ἐν περικαλύμματι, καὶ ἐν λέμματι, οἷον ὑφάσματί τινι, ὡς ἐν σίτῳ εὑρίσκεται, καὶ τοῖς λοιποῖς. καὶ τινὲς μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί· τινὲς δὲ οἷον ἐν οἰκίσκοις πολλοῖς, καὶ ἐν λέμμασι, καὶ ἐν ἀστράκοις, ὡς τὰ κάρυα. καὶ τινὲς μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας καὶ τῆς κεράσου· τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι, ἢ οἱ πλείονες αὐτῶν. καὶ τινὰ μὲν τῶν φυτῶν ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως· καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι, πρὶν ἂν πεπανθῶσι. καὶ πάλιν τὰ χρώματα τῶν φύλλων, καὶ τῶν καρπῶν, καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων, λίαν εἰσὶ διάφορα. τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητι εἰσὶ χλοάζοντα. καὶ τινὰ μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δὲ εἰς λευκότητα, καὶ τινὰ εἰς ἐρυθρότητα, διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου. πάλιν τὰ σχήματα τῶν καρπῶν, [εἰ εἰσὶν ἄγρια, καὶ] διαφόρων εἰσὶ θέσεων. οὐ γὰρ πάντες οἱ καρποὶ γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

Κεφάλαιον ς.

Πάλιν τῶν ἀρωματοφόρων δένδρων, τινῶν μὲν ἡ ῥίζα ἀρωματική ἐστιν, τινῶν ὁ φλοιός, τινῶν τὸ ξύλον. ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον. πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπερμάτων, τὰ δὲ δι' ἑαυτῶν. καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται, τὰ δὲ ἐκ τοῦ ῥίζου· τὰ δέ, ἐκ τῶν κλάδων, ἢ διὰ τοῦ σπέρματος. καὶ τινὰ μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται. τινὰ δὲ ἐν τῇ γῇ. καὶ τινὰ μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. ἔστι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια. ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν ὀγχνῶν. ἐν δὲ τοῖς ὁμοίοις, ὡς συκῆ ἐν συκῇ, καὶ ἄμπελος ἐν ἀμπέλῳ, καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῇ. ἔστι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν, καὶ καλλιέλαιος εἰς ἀγριέλαιον, καὶ ἡ μορέα εἰς πολλὰ δένδρα. τῶν δένδρων πάλιν τὰ ἄγρια,

A quo operiuntur, vt dactyli, & amygdala. Quidam non tales ſunt. Et fructus alij edendo ſunt, & per accidens non edendo ſunt. Et alij fructus nobis non ſunt edendo, aliis verò ſunt, velut hyoſcyamus, & helleborus, quæ hominibus ſunt venena, coturnicibus verò alimentum. Item fructuum alij in ſiliquis ſunt, veluti fabæ grana, alij in tegumentis, & veluti telis, vt triticum viſitur & cæteri, alij in carne,
B vt dactylorum fructus: quidam velut in caſis multis, & tela, ac teſtis, vt ſunt nuces. Et quidam citò matureſcunt, vt mora, ceraſa: alij tardè, vt fructus agreſtes aut omnes, aut plerique. Et aliæ plantarum citò producunt folia, ac fructus, aliæ tardè. Et earum quædam hyemem conſequuntur priùs, quàm matureſcant. Colores præterea & fructuum, & florum, & quæ illis innaſcuntur operimentorum,
C admodum diuerſi ſunt. Et plantæ quædam totæ, ſunt atriores, quædam ad nigredinem vergunt, aliæ ad albedinem, ad rubedinem aliæ, ob calorem adurentem, eum qui partibus terreis commiſtus eſt, aerem. Item figuræ fructuum, ſi fuerint ſylueſtres, differentes habent poſitiones. Neque enim omnes ſunt angulares, neque linea recta omnes ſunt.

CAPVT VI.

D ARborum præterea aromaticarum, aliarum radix aromatica eſt, aliarum cortex, quarundam flos, quarundam lignum, aliarum verò partes omnes ſunt aromaticæ, vt balſami. Arbores rurſus aliæ è ſemine naſcuntur, aliæ ex ſeſe ipſis. Et aliæ è radice euelluntur, & tranſplantantur aliæ è ſtipite, aliæ è ramis, vel è ſemine. Quædam per ſe paulatim extenduntur, quædam in terra. Quædam plantantur
E in arboribus, vt quæ inſeruntur. Eſt autem inſitio melior ſimilium in ſimilia. Eſt & alia quoque proportio, per quam optimè committuntur diſſimilia, velut mali cum pyris: in ſimilibus, velut ficus cum ficu, & vitis in vitem, & amygdalus cum amygdalo. Eſt & alia inſitio in generibus diuerſis, velut artemiſiæ in artemiſiam ſylueſtrem, & oleæ ſatiuæ in ſylueſtrem oleam, & mori in arbores multas. I-
F tem arborum ſylueſtrium in hortenſes.